*εἰκοστῇ δὲ μιῇ Ζυγοῦ Κρόνος, Αἰγίοχος δὲ*
*Καρκίνου ἐν δεκαπέντε, καθ' ἑβδομάδος δὲ τετάρτης*
*Ἄρης Αἰγόκερω, περὶ δ' ἐννέα τρισσάκι Κύπρις*
*Ἰχθύσι, Παρθενικῇ ⟨δὲ⟩ τρίτης κατὰ πεντάδος Ἑρμῆς.*
2 *αἱ δὲ ταπεινώσεις ὑψώματα ἐν διαμέτρῳ.*

I 3, 1–7. 'Rhetorii' 55, 1–8 in **R** ff. 91v–92 atque in **V** f. 71v; iam ab I. Heeg e **V** in CCAG 5, 3; 79–80 et a F. Cumont ex **R** et **V** in CCAG 8, 4; 125 (fr. 19 Stegemann) editum

f. 91v R f. 71v V | *νε' Περὶ εὐτοκίας καὶ δυστοκίας καθὼς Δωρόθεος*

1 *Ἐπὶ μὲν ἀρσενικῆς γενέσεως τὰ φῶτα ἐν ἀρσενικοῖς ζῳδίοις τυχόντα*
*καὶ ὁ ὡροσκόπος ὑπὸ ἀγαθοποιῶν θεωρούμενος εὐτοκίαν ποιοῦσιν,*
*ἐπὶ δὲ θηλυκῆς γενέσεως δυστοκίαν ποιοῦσιν, καὶ μάλιστα ἐὰν ὦσιν τὰ*
2 *φῶτα τρίγωνα ἀλλήλοις καὶ ἐν ἀρσενικοῖς ζῳδίοις. ἐπὶ δὲ ἀρσενικῆς*
*γενέσεως τὰ φῶτα ἑαυτοῖς τρίγωνα καὶ ἐν θηλυκοῖς ζῳδίοις μετὰ τοῦ*
*ὡροσκόπου δυστοκίαν ποιοῦσιν· αὕτη γὰρ ἡ φάσις τῶν φώτων καλεῖται*
3 *ἀμφίκυρτος. Ζεὺς ὡροσκοπῶν εὐτοκίαν δίδωσι, καὶ εἰ μὲν ἀρσενικὸν*
*εἴη τὸ ὡροσκοποῦν ζῴδιον τὸν πατέρα εὐγενέστερον εἶναι τῆς μητρός,*
4 *εἰ δὲ θηλυκὸν τὴν μητέρα τοῦ πατρός. Κρόνος ὡροσκοπῶν δυστοκίαν*
5 *παρέχει, μάλιστα ἐν τοῖς θηλυκοῖς ζῳδίοις. ὁ δὲ Ἄρης ὡροσκοπῶν,*
*μάλιστα ἐν θηλυκοῖς ζῳδίοις, ἐξαπίνης καὶ σύντομον ποιεῖ τὸν τοκετόν,*
6 f. 92 R *μάλιστα ἐν ὁδῷ ἢ ἐν λουτρῷ. φησὶ δὲ | καὶ τὰ ὀρθὰ καὶ τὰ πλάγια*
7 *ζῴδια πολλὰ συμβάλλεσθαι εἰς τὸν περὶ τοκετοῦ λόγον. ὀρθὰ μὲν γὰρ*
*ζῴδιά εἰσιν ἀπὸ Καρκίνου ἕως Τοξότου, πλάγια δὲ τὰ λοιπὰ ἀπὸ*
8 *Αἰγοκέρωτος ἕως Διδύμων. ἡ οὖν Σελήνη ἐν τοῖς πλαγίοις ζῳδίοις*
*τυχοῦσα καὶ ὑπὸ τῶν κακοποιῶν ἐμπερισχομένη δυστοκίαν ἀποτελεῖ,*
*μάλιστα καὶ τῶν κακοποιῶν ἐν τοῖς πλαγίοις ζῳδίοις τυχόντων καὶ τὴν*
*Σελήνην ἔκκεντρον ἐπιθεωρούντων.*